𝔊 λέγων Τάδε λέγει σοι κύριος ὁ θεός Τὸ ἄριστον, ὃ ἔχεις, ἀπένεγκε
Δανιηλ εἰς τὸν λάκκον τῶν λεόντων ἐν Βαβυλῶνι. [35]καὶ εἶπεν Αμ- 35
βακουμ Κύριε ὁ θεός, οὐχ ἑώρακα τὴν Βαβυλῶνα καὶ τὸν λάκκον
οὐ γινώσκω ποῦ ἐστι. [36]καὶ ἐπιλαβόμενος αὐτοῦ ὁ ἄγγελος κυρίου 36
τοῦ Αμβακουμ τῆς κόμης αὐτοῦ τῆς κεφαλῆς ἔθηκεν αὐτὸν ἐπάνω
τοῦ λάκκου τοῦ ἐν Βαβυλῶνι. [37]καὶ εἶπεν Αμβακουμ πρὸς Δανιηλ 37
Ἀναστὰς φάγε τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι κύριος ὁ θεός. [38]καὶ 38
εἶπε Δανιηλ Ἐμνήσθη γάρ μου κύριος ὁ θεὸς ὁ μὴ ἐγκαταλείπων
τοὺς ἀγαπῶντας αὐτόν. [39]καὶ ἔφαγε Δανιηλ· ὁ δὲ ἄγγελος κυρίου 39
κατέστησε τὸν Αμβακουμ ὅθεν αὐτὸν ἔλαβε τῇ αὐτῇ ἡμέρᾳ. ὁ δὲ
κύριος ὁ θεὸς ἐμνήσθη τοῦ Δανιηλ. [40]ἐξῆλθε δὲ ὁ βασιλεὺς μετὰ 40
ταῦτα πενθῶν τὸν Δανιηλ καὶ ἐγκύψας εἰς τὸν λάκκον ὁρᾷ αὐτὸν
καθήμενον. [41]καὶ ἀναβοήσας εἶπεν ὁ βασιλεύς Μέγας ἐστὶ κύριος 41
ὁ θεός, καὶ οὐκ ἔστι πλὴν αὐτοῦ ἄλλος. [42]καὶ ἐξήγαγεν ὁ βασιλεὺς 42
τὸν Δανιηλ ἐκ τοῦ λάκκου· καὶ τοὺς αἰτίους τῆς ἀπωλείας αὐτοῦ
ἐνέβαλεν εἰς τὸν λάκκον ἐνώπιον τοῦ Δανιηλ, καὶ κατεβρώθησαν.

Subscr. δανιηλ κατα τους ο′ 88 Sy: cf. Dan. inscr.

---

θ′ ἄγγελος κυρίου τῷ Αμβακουμ Ἀπένεγκε τὸ ἄριστον, ὃ ἔχεις, εἰς
Βαβυλῶνα τῷ Δανιηλ εἰς τὸν λάκκον τῶν λεόντων. [35]καὶ εἶπεν 35
Αμβακουμ Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα καὶ τὸν λάκκον οὐ γινώ-
σκω. [36]καὶ ἐπελάβετο ὁ ἄγγελος κυρίου τῆς κορυφῆς αὐτοῦ καὶ 36
βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυ-
λῶνα ἐπάνω τοῦ λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. [37]καὶ 37
ἐβόησεν Αμβακουμ λέγων Δανιηλ Δανιηλ, λαβὲ τὸ ἄριστον, ὃ
ἀπέστειλέν σοι ὁ θεός. [38]καὶ εἶπεν Δανιηλ Ἐμνήσθης γάρ μου, ὁ 38
θεός, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε. [39]καὶ ἀναστὰς Δα- 39
νιηλ ἔφαγεν· ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀπεκατέστησεν τὸν Αμβα-
κουμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ. [40]ὁ δὲ βασιλεὺς ἦλθεν τῇ 40
ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι τὸν Δανιηλ· καὶ ἦλθεν ἐπὶ τὸν λάκκον
καὶ ἐνέβλεψεν, καὶ ἰδοὺ Δανιηλ καθήμενος. [41]καὶ ἀναβοήσας φωνῇ 41
μεγάλῃ εἶπεν Μέγας εἶ, κύριε ὁ θεὸς τοῦ Δανιηλ, καὶ οὐκ ἔστιν
πλὴν σοῦ ἄλλος. [42]καὶ ἀνέσπασεν αὐτόν, τοὺς δὲ αἰτίους τῆς ἀπ- 42
ωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον, καὶ κατεβρώθησαν παρα-
χρῆμα ἐνώπιον αὐτοῦ.

34 τω 1°] προς AQ† || 35 fin.] + που εστιν A = 𝔊 || 36 κυριου > A | κορυφης] χειρος A† || 37 αμβακουμ > A† || 39 εις] επι A
Subscr. totius operis δανιηλ B, τελος δανιηλ προφητου A†: cf. Sus. inscr.